ἄγαμον ἀδάματον ἐκφυγεῖν.
θέλουσα δ᾽ αὖ θέλουσαν ἁγνά μ᾽ ἀντ. ζʹ.
ἐπιδέτω Διὸς κόρα,
ἔχουσα σέμν᾽ ἐνώπι᾽ ἀσφαλὲς,
παντὶ δὲ σθένουσα· † διωγμοῖσι δ᾽
† ἀσφαλίας ἀδμήτας ἀδμήτα
ῥύσιος γενέσθω,
σπέρμα σεμνᾶς μέγα ματρὸς
εὐνὰς ἀνδρῶν, ἒ, ἒ,
ἄγαμον ἀδάματον ἐκφυγεῖν.
εἰ δὲ μὴ, μελανθὲς στρ. ηʹ.
ἡλιόκτυπον γένος,
τὸν γάϊον,
τὸν πολυξενώτατον
Ζῆνα τῶν κεκμηκότων
ἱξόμεσθα σὺν κλάδοις
ἀρτάναις θανοῦσαι,
μὴ τυχοῦσαι θεῶν Ὀλυμπίων.
ὦ Ζεῦ, Ἰοῦς ἰὼ
μῆνις μάστειρ᾽ ἐκ θεῶν.
κοννῶ δ᾽ ἄταν
γαμετᾶς οὐρανόνικον·
χαλεποῦ γὰρ ἐκ
πνεύματος εἶσι χειμών.

138. σθένουσα Turn. ceteri σθένουσι. Quæ sequuntur, procul dubio corrupta sunt, arguente tum metro, tum sensu.

146—7. Vulgo ἢ διόκτυπον—τοὔγγαιον. Ald. vero et Turn. habent ἠδιόκτυπον, unde Well. Δ in Λ felicissime mutavit. Idem ex Aldina aliorumque τόνταιον eruit τὸν γάϊον, T tantum in Γ mutato.

152. Ita Rob. pro ἀζηνιουσίω. Constructio est, ἰὼ μῆνις μάστειρα Ἰοῦς, *quæ Iö et familiam ejus investigat et persequitur.*